**Κυριακὴ 23 Μαρτίου. Κυριακὴ τῆς Σταυροπροσκυνήσεως. Μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν Νίκωνος, καὶ τῶν αὐτοῦ Μαθητῶν ἑκατὸν ἐνενήκοντα ἐννέα. Ἦχος πλ.β'. Ἑωθινὸν ς'.**

**Σημείωσις:** Τὴν ἀκολουθίαν τοῦ Ὁσίου Πατρὸς ἡμῶν Νίκωνος, καὶ τῶν αὐτοῦ Μαθητῶν ἑκατὸν ἐνενήκοντα ἐννέα, ψάλλομεν ἐν τοῖς παρελθούσιν ἢ ἐν τοῖς ἐπερχομένοις ἀποδείπνοις.

## Τυπικαὶ διατάξεις τῶν Ἱερῶν Ἀκολουθιῶν

### Ἐν τῷ μικρῷ ἑσπερινῷ

Μετὰ τὸν προοιμιακὸν ψαλμὸν ἱστῶμεν στίχους δ' καὶ ψάλλομεν τὰ γ' προσόμοια του Σταυροῦ· *Νῦν Ἀγγελικαί*…*Ἵνα τοῦ Ἀδάμ*…*Κλείει τὴν Ἐδὲμ*…δευτεροῦντες τὸ α'. Δόξα…Καὶ νῦν…τὸ Σταυροθεοτοκίον· *Ὅτε τῷ Σταυρῷ*…Εἶτα τό· *Φῶς ἱλαρόν*…χῦμα ὑπὸ τοῦ προεστῶτως, τὸ Προκείμενον· *Ὁ Κύριος ἐβασίλευσεν*…μετὰ τῶν στίχων αὐτοῦ. Εἰς τὸν στίχον ψάλλομεν τὰ γ' προσόμοια του Σταυροῦ· *Λυθέντες τῶν δεσμῶν*… *Ἄγε νῦν σὺν ἡμῖν*…*Ὀψώμεθα λαοὶ*…Δόξα…Καὶ νῦν…τὸ Σταυροθεοτοκίον· *Ὑψούμενον Σταυρῷ*…Εἶτα τό· *Νῦν ἀπολύεις*…καὶ τὸ τρισάγιον. Ἀπολυτίκιον, τὸ τοῦ Σταυροῦ· *Σῶσον Κύριε τὸν λαόν σου*…(ἅπαξ). Ἀπόλυσις.

### Ἐν τῷ ἀποδείπνῳ

Ἐν τῷ μικρῷ ἀποδείπνῳ, κανόνα τῆς Θεοτόκου οὐ λέγομεν, οὔτε οἴκους ἐν τέλει. Εἰς δὲ τὸ τρισάγιον, τὸ κοντάκιον τοῦ Σταυροῦ· *Οὐκέτι φλογίνη ῥομφαῖα*…Εἶτα τὰ λοιπὰ τοῦ ἀποδείπνου καὶ ἀπόλυσις.

### Ἐν τῷ μεγάλῳ ἑσπερινῷ

Μετὰ τὸν προοιμιακὸν ψαλμόν, στιχολογοῦμεν τὴν α' στάσιν τοῦ α' Καθίσματος τοῦ Ψαλτηρίου, ἤτοι τό· *Μακάριος ἀνήρ*…Εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους ι' καὶ ψάλλομεν στιχηρὰ ἀναστάσιμα γ'· *Νίκην ἔχων Χριστέ*…*Σήμερον ὁ Χριστός*…*Σὲ Κύριε τὸν ὄντα*…στιχηρὰ ἀνατολικὰ

γ'· *Ἐν τῷ Σταυρῷ σου Χριστὲ καυχώμεθα…Δία παντὸς εὐλογοῦντες τὸν Κύριον…Δόξα τῇ δυνάμει σου…*καὶ τοῦ Σταυροῦ προσόμοια δ'· *Λάμψον ὁ του Κυρίου Σταυρός…Χαίροις ὁ ζωηφόρος Σταυρός…Χαίροις ὁ ζωηφόρος Σταυρός, τῆς εὐσεβείας…Δεῦρο τῶν Πρωτοπλάστων δυὰς...*Δόξα…τὸ ἰδιόμελον τοῦ Σταυροῦ· *Χριστὲ ὁ Θεὸς ἡμῶν…*Καὶ νῦν…τὸ δογματικόν θεοτοκίον τοῦ ἤχου· *Τὶς μὴ μακαρίσει σὲ…*Εἴσοδος, τὸ· *Φῶς ἱλαρόν…*καὶ τὸ προκείμενον· *Ὁ Κύριος ἐβασιλευσεν…*μετὰ τῶν στίχων αὐτοῦ. Εἰς τὴν λιτήν, τὸ στιχηρὸν τοῦ ἁγίου τῆς μονῆς, ἢ τοῦ ἁγίου τοῦ ναοῦ. Δόξα…Καὶ νῦν…τὸ ἰδιόμελον τοῦ Σταυροῦ· *Ὁρῶσα σὲ ἡ Κτίσις…*Εἰς τὸν στίχον, τὸ ἀναστάσιμον στιχηρόν· *Τὴν Ἀνάστασίν σου Χριστὲ Σωτὴρ…*καὶ τὰ κατ᾽ἀλφάβητον· *Πύλας συντρίψας χαλκᾶς…Ῥεύσεως ἡμᾶς τῆς πάλαι… Σταυρωθεὶς ὡς ἠβουλήθης Χριστὲ…*Δόξα…Καὶ νῦν…τὸ ἰδιόμελον τοῦ Σταυροῦ· *Ὁ συμμαχήσας Κύριε…*Ἀπολυτίκιον· *Θεοτόκε Παρθένε…*(ἐκ β'). Καὶ τοῦ Σταυροῦ· *Σῶσον Κύριε τὸν λαόν σου…*(ἅπαξ) καὶ ἡ εὐλόγησις τῶν ἄρτων. Εἶτα τὰ λοιπὰ τῆς ἀγρυπνίας.

**Μὴ τελουμένης ἀγρυπνίας,** ἀπολυτίκια εἰς τὸν μέγαν ἑσπερινὸν (κατάλιμπανομένου τοῦ μικροῦ) λέγομεν, τὸ Ἀναστάσιμον· *Ἀγγελικαὶ δυνάμεις…*Δόξα…τοῦ Σταυροῦ· *Σῶσον Κύριε τὸν λαόν σου…*Καὶ νῦν… το Θεοτοκίον· *Τοῦ Γάβριὴλ φθεγξαμένου...*Τῇ δὲ Κυριακῇ πρωῒ, **ἐν τῷ μεσονυκτικῷ,** ὁ τριαδικὸς κανὼν τοῦ ἤχου· *Τρεῖς ὑποστάσεις ὑμνοῦμεν θεαρχικὰς…*Τὰ *Ἄξιόν ἐστιν…Τρισάγιον,* καὶ τὸ ἀπολυτίκιον τοῦ Σταυροῦ· *Σῶσον Κύριε τὸν λαόν σου…*καὶ τὰ λοιπὰ τοῦ μεσονυκτικοῦ.

## Ἐν τῷ Ὄρθρῳ

Εἰς τὸ· *Θεὸς Κύριος…*Ἀπολυτίκιον τὸ ἀναστάσιμον· *Ἀγγελικαὶ δυνάμεις…*Δόξα…τοῦ Σταυροῦ· *Σῶσον Κύριε τὸν λαόν σου…*Και νύν…το θεοτοκίον· *Τοῦ Γαβριὴλ φθεγξαμένου...*Εὐθὺς ἡ στιχολογία τοῦ Ψαλτηρίου ὡς ἑξῆς: ὁ ἀναγνώστης· *Κύριε, ἐλέησον* γ', Δόξα, καὶ νῦν…Καὶ ἀναγινώσκει τὸ Β' κάθισμα τοῦ Ψαλτηρίου. Εἰς τὸ τέλος αὐτοῦ λέγει· *Δόξα, καὶ νῦν. Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα δόξα σοι, ὁ Θεός.* Ἐκ γ'. *Ἡ*

*ἐλπὶς ἡμῶν Κύριε δόξα σοι.* Ὁ ἱερεύς· μικρὰ συναπτὴ καί· *Ὅτι σὸν τὸ κράτος…*Ὁ χορός· *Ἀμήν,* καὶ ψάλλονται τὰ ἀναστάσιμα καθίσματα· *Τοῦ τάφου ἀνεωγμένου…*Δόξα· *Κύριε, παρίστατο τῷ τάφῳ σου…*Καὶ νῦν…τὸ θεοτοκίον· *Προϊστορεῖ ὁ Γεδεὼν τὴν σύλληψιν…*Εἶτα ὁ ἀναγνώστης· *Κύριε, ἐλέησον γ', Δόξα, καὶ νῦν.* Καὶ ἀναγινώσκει τὸ Γ' κάθισμα τοῦ Ψαλτηρίου. Εἰς τὸ τέλος αὐτοῦ λέγει· *Δόξα, καὶ νῦν. Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα δόξα σοι, ὁ Θεός.* Ἐκ γ'. *Ἡ ἐλπὶς ἡμῶν Κύριε δόξα σοι.* Ὁ ἱερεύς· μικρὰ συναπτὴ καί· *Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος…*Ὁ χορός· *Ἀμήν,* καὶ ψάλλονται τὰ ἀναστάσιμα καθίσματα· *Ἡ Ζωὴ ἐν τῷ τάφῳ ἀνέκειτο…*Δόξα· *Προϊστορεῖ ὁ Ἰωνας τὸν τάφον σου…*Καὶ νῦν...τὸ θεοτοκίον· *Θεοτόκε Παρθένε…*Εἶτα ὁ ἀναγνώστης· *Κύριε, ἐλέησον γ', Δόξα, καὶ νῦν.* Καὶ ἀναγινώσκει τὸ ΙΖ' κάθισμα τοῦ Ψαλτηρίου. Εἰς τὸ τέλος αὐτοῦ ψάλλονται τὰ *Εὐλογητάρια.* Αἴτησις καὶ ἡ Ὑπακοὴ τοῦ ἤχου· *Τῷ ἑκουσίῳ καὶ ζωοποιῷ σου θανάτῳ…*Εἶτα ὁ πολυέλεος, μεθ' ὃν κάθισμα τοῦ Σταυροῦ· *Ἐν Παραδείσῳ μὲν τὸ πρὶν…*Δόξα…Καὶ νῦν· *τὸ αὐτὸ…*Εὐθὺς οἱ ἀναβαθμοὶ τοῦ ἤχου, τὸ προκείμενον αὐτῶν καὶ ἅπασα ἡ τάξις τοῦ Ἀναστασίμου ϛ' Εὐαγγελίου. Μετὰ τὸν ν' ψαλμὸν ψάλλομεν τὰ ἐν τῷ Τριῳδίῳ ἰδιόμελα. Δόξα· *Τῆς μετανοίας ἄνοιξόν μοι…*Καὶ νῦν· *Τῆς σωτηρίας εὔθυνόν μοι…Τὰ πλήθη τῶν πεπραγμένων μοι δεινῶν…*

**Εἶτα οἱ κανόνες·** ὁ ἀναστάσιμος, μετὰ τῶν εἱρμῶν, εἰς δ' τροπάρια, τῆς θεοτόκου, ἄνευ εἱρμῶν, εἰς β' τροπάρια καὶ τοῦ Σταυροῦ, ἄνευ εἱρμῶν, εἰς η' τροπάρια. Καταβασίαι οἱ εἱρμοὶ τοῦ κανόνος τοῦ Σταυροῦ· *Ὁ θειότατος…*Λέγομεν δὲ ἐν τῷ κανόνι καὶ τοὺς ιβ' στίχους ἐξ ἑκάστης ᾠδῆς τῆς στιχολογίας. Ἀπὸ γ' ᾠδῆς τὸ ἀναστάσιμον κοντάκιον· *Τῇ ζωαρχικῇ παλάμῃ…*καὶ ὁ οἶκος· *Τὸν Σταυρὸν καὶ τὴν ταφήν σου Ζωοδότα…*Εἶτα τὸ κάθισμα τοῦ Σταυροῦ· *Ὁ Σταυρός σου, Κύριε ἡγίαστε…*τὸ ἕτερον· *Σήμερον τὸ Προφητικὸν πεπλήρωται λόγιον…*μετὰ τοῦ στίχου αὐτοῦ... Δόξα· *Μόνον ἐπάγη τὸ ξύλον Χριστὲ…*Καὶ νῦν…τὸ θεοτοκίον· *Θεοτόκε Παρθένε…*Ἀφ' ἕκτης, τὸ κοντάκιον τοῦ Σταυροῦ· *Οὐκέτι φλογίνη ρομφαία…*καὶ οἶκος αὐτοῦ· *Τρεῖς σταυροὺς ἐπήξατο…*Εἶτα τὸ συναξάριον,

πρῶτον τοῦ Μηναίου καὶ εἶτα τοῦ Τριῳδίου. **Στιχολογεῖται καὶ ἡ Τιμιωτέρα…**

**Τὸ· *Ἅγιος Κύριος ὁ Θεὸς ἡμῶν*…**ἐκ γ' καὶ τό· *Ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν*…εἶτα τὸ ἐξαποστειλάριον, τὸ ς' Ἀναστάσιμον· *Δεικνύων ὅτι ἄνθρωπος*…τοῦ Σταυροῦ· *Σταυρὸν Χριστοῦ τὸν τίμιον*…καὶ τὸ θεοτοκίον· *Τὸν ξύλον ἐν ᾧ Πανσεμνὲ*…Εἰς τοὺς αἴνους ἱστῶμεν στίχους η' καὶ ψάλλομεν ἀναστάσιμα στιχηρά· *Ὁ Σταυρός σου Κύριε…Ἡ ταφή σου Δεσπότα…Σὺν Πατρὶ καὶ Πνεύματι…Τριήμερος ἀνέστης Χριστὲ*…καὶ τοῦ Σταυροῦ προσόμοια γ'· *Ἐν φωναῖς ἀλαλάξωμεν…Προσελθόντες ἀρύσασθε…Ἐκκλησίας ἑδραίωμα*…δευτεροῦντες τὸ α'. Λέγομεν δὲ εἰς τὰ δύο τελευταῖα τοὺς στίχους τοῦ Σταυροῦ· **α'.** *Ὑψοῦτε Κύριον τον Θεὸν ἡμῶν, καὶ προσκυνεῖτε τῷ ὑποποδίῳ τῶν ποδῶν αὐτοῦ…* καὶ **β'.** *Ὁ δὲ Θεὸς ἡμῶν πρὸ αἰώνων εἰργάσατο σωτηρίαν ἐν μέσῳ τῆς γῆς*…Δόξα…τὸ ἰδιόμελον τοῦ Τριῳδίου· *Τὴν ὑψηλόφροναν γνώμην*…Καὶ νῦν· *Ὑπερευλογημένη*…Δοξολογία μεγάλη, εἰς ἦχον δ' καὶ ἀσματικὸν ἀργόν.

Ψαλλομένης δὲ τῆς δοξολογίας ταύτης, ἀλλάσσει ὁ ἱερεὺς τὴν στολὴν αὐτοῦ, καὶ λαβὼν θυμιατὸν θυμιᾷ τὴν ἁγίαν Τράπεζαν καὶ τὸ Σταυρόν· εἶθ′ οὕτω λαμβάνει αὐτὸν μετὰ δίσκου ἐπὶ τῆς κεφαλῆς αὐτοῦ σὺν τῇ θήκῃ, καὶ ἐξέρχεται ἐκ τοῦ ἀριστεροῦ βήματος προπορευομένων αὐτοῦ λαμπάδων καὶ θυμιατοῦ, καὶ ἀπέρχεται εἰς τὰς βασιλικὰς πύλας. Τελεσθείσης δὲ τῆς δοξολογίας καὶ τοῦ ᾀσματικοῦ ἐγγίζοντος εἰς τὸ τέλος, εἰσοδεύει ὁ ἱερεὺς φέρων τὸν Τίμιον Σταυρὸν ἔμπροσθεν τῶν ἁγίων θυρῶν, καὶ μετὰ τὸ τέλος τοῦ ἀσματικοῦ ἐκφωνεῖ· *Σοφία, ὀρθοί*, καὶ κακεῖσε προευτρεπισθέντος τοῦ τετραποδίου, τίθησι τὸν τίμιον Σταυρὸν ἐπάνω αὐτοῦ, καὶ λαβὼν τὸ θυμιατὸν θυμιᾷ αὐτὸν σταυροειδῶς ψάλλων συνάμα καὶ τὸ ἀπολυτίκιον· *Σῶσον Κύριε τὸν λαόν σου*…τὸ αὐτὸ ἐπαναλαμβάνει ὁ δεξιὸς χορός, καὶ εἶτα τὸ αὐτὸ ὁ ἀριστερὸς χορός. Εἶτα ψάλλει ὁ ἱερεύς· *Τὸν Σταυρόν σου προσκυνοῦμεν Δεσπότα, καὶ τὴν ἁγίαν σοῦ ἀνάστασιν δοξάζομεν*, τὸ αὐτὸ ὁ δεξιὸς χορός, καὶ εἶτα τὸ αὐτὸ ὁ ἀριστερός, ποιοῦντες ἀνὰ μίαν μεγάλην

μετάνοιαν ἐν ἑκάστῳ. Ἀνοιχθείσης δὲ τῆς θήκης, ἄρχεται προσκυνεῖν ὁ προεστὼς καὶ ὁ ἱερεύς, βάλλοντες μετανοίας γ' κατενώπιον τοῦ τιμίου Σταυροῦ καὶ μετὰ τὸ ἀσπάσασθαι, πάλιν βάλλουσι μετάνοιαν ὁμοίως, καὶ εἰς τοὺς χοροὺς πρὸς μίαν. Εἶθ’ οὕτως ἄρχονται οἱ ἀδελφοὶ προσκυνοῦντες δύο δύο, κατὰ τάξιν. Προσκυνούντων δὲ τῶν ἀδελφῶν ψάλλονται ὑπ’ ἀμφοτέρων τῶν χορῶν, ἀρχομένου τοῦ δεξιοῦ, τὰ ἰδιόμελα· *Δεῦτε πιστοὶ τὸ ζωοποιὸν ξύλον…Σήμερον ὁ Δεσπότης τῆς κτίσεως…* Δόξα· *Σήμερον ὁ ἀπρόσιτος τῇ οὐσίᾳ*…Καὶ νῦν…εἱρμολογικῶς· *Σήμερον τὸ προφητικόν*…Εἶτα ἡ συνήθης ἐκτενὴς· *Ἐλέησον ἡμᾶς*…τὸ· *Πληρώσωμεν*…ἡ κεφαλοκλισία, καὶ ἀπόλυσις μεθ’ ἣν ψάλλομεν τὸ ἑωθινὸν ἰδιόμελον· *Ἡ ὄντως εἰρήνη σὺ Χριστὲ*…καὶ εἶτα ἡ α' ὥρα ἐν τῷ νάρθηκι.

## Ἐν ταῖς ὥραις

Ἀπολυτίκιον τὸ ἀναστάσιμον· *Ἀγγελικαὶ δυνάμεις*…Δόξα· τοῦ Σταυροῦ· *Σῶσον Κύριε τὸν λαόν σου*…Καὶ νῦν· τὸ θεοτοκίον τῆς ὥρας. Εἰς δὲ τὸ τρισάγιον, τὸ κοντάκιον τοῦ Σταυροῦ· *Οὐκέτι φλογίνη ῥομφαῖα*…

## Εἰς τὴν Θείαν Λειτουργίαν

Τὰ τυπικά, οἱ ἀναστάσιμοι μακαρισμοὶ εἰς δ' τροπάρια καὶ ἡ ϛ' ᾠδὴ τοῦ κανόνος τοῦ Σταυροῦ, ἄνευ εἱρμοῦ, εἰς δ' τροπάρια. Εἴσοδος…Εἰσοδικὸν· *Δεῦτε προσκυνήσωμεν…ὁ ἀναστὰς ἐκ νεκρών.* Ἀπολυτίκια μετὰ τὴν εἴσοδον, τὸ ἀναστάσιμον· *Ἀγγελικαὶ δυνάμεις*…τοῦ Σταυροῦ· *Σῶσον Κύριε τὸν λαόν σου*…τοῦ ἁγίου τῆς μονῆς ἢ τοῦ ἁγίου τοῦ ναοῦ…ἡ ὑπακοὴ τοῦ ἤχου· *Τῷ ἑκουσίῳ καὶ ζωοποιῷ σου θανάτῳ*…Δόξα…τὸ κοντάκιον τοῦ Σταυροῦ· *Οὐκέτι φλογίνη ῥομφαῖα*…Καὶ νῦν…τὸ κοντάκιον τοῦ Ἀκαθίστου Ὕμνου· *Τῇ ὑπερμάχῳ*…Ἀντὶ δὲ τοῦ τρισαγίου, *Τὸν Σταυρόν σου προσκυνοῦμεν Δεσπότα*...Προκείμενον καὶ Ἀλληλουϊάριον τοῦ Σταυροῦ. Ἀπόστολος τῆς Κυριακῆς· *Ἔχοντες ἀρχιερέα μεγαν διεληλυθότα τοῦς οὐρανούς*…(Ἑβρ. δ' 14-16, ε' 1-6), ὁ ζήτει τῇ Γ' Κυριακῇ τῶν Νηστειῶν. Εὐαγγέλιον, τῆς Κυριακῆς· *Ὅστις θέλει ὀπίσω μου ἐλθεῖν*…(Μαρκ. η' 34-38, θ' 1), ὁ ζήτει τῇ Γ' Κυριακῇ τῶν Νηστειῶν.

Εὐθὺς ἡ θεία λειτουργία τοῦ *Μεγάλου Βασιλείου*…Κοινωνικὸν· *Ἐσημειώθη ἐφ' ἡμᾶς τὸ φῶς τοῦ προσώπου σου, Κύριε. Εἴδομεν τὸ φῶς…Πληρωθήτω… Εἴη τὸ ὄνομα Κυρίου…*ἐκ γ', Δόξα…Καὶ νῦν…οἱ δύο ψαλμοὶ· *Εὐλογήσω τὸν Κύριον…Ὑψώσω σὲ ὁ Θεός μου*…καὶ ἡ ἀπόλυσις.